Ἡ τοῦ Ἁγίου Πνεύματος παντοδύναμος χάρις, εὑροῦσα τὴν Ἱεράν σου ψυχήν, Ἱεράρχα Ἀντίπα, πρὸς ἔλεον τῶν ἀδελφῶν, καὶ συμπάθειαν ῥέπουσαν, τὴν χάριν τῶν ἰαμάτων δαψιλῆ σοι ἐχαρίσατο· ἵνα καὶ τὸν ἔλεον τοῖς δεομένοις, ἀφθονώτερον ἐπιδείξῃς· δι' ἧς πάθη ποικίλα θεραπεύεις ἑκάστοτε, καὶ ἐξαιρέτως τῆς τῶν ὀδόντων ὀδύνης, ἀπαλλάττεις τοὺς πάσχοντας, καὶ πρεσβεύεις ἐκτενῶς τῷ Κυρίῳ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα, Ἦχος Δ'.

Ἐκκαθάρας σου τὸν νοῦν πάσης ὑλικῆς προσπαθείας, Ἀντίπα Θεσπέσιε· τὴν δὲ ψυχὴν ἡδυπαθείας, καὶ τὸ σῶμα τῆς ἐμπαθείας, κατοικητήριον γέγονας τοῦ ἀκενώτου μύρου Χριστοῦ τοῦ Θεοῦ, τοῦ ἐν γῇ κενωθέντος δι' ἀγαθότητα, καὶ τὸν Κόσμον εὐωδιάσαντος· ὅθεν καὶ μετὰ θάνατον, μύρα βλύζειν κατηξιώθης, ἐκ τοῦ ἱεροῦ καὶ Ἁγίου Λειψάνου σου· σύμβολον δὲ τοῦτο καὶ τεκμήριον ἐναργέστατον, τῆς ἀκραιφνοῦς ἁγνείας καὶ παρθενίας ὑπάρχει· ἧς καὶ ἡμᾶς μετασχεῖν καταξίωσον, ταῖς πρὸς Κύριον πρεσβείαις σου.

Καὶ νῦν, Ἐκ παντοίων κινδύνων. Εἰς τὸν στίχον στιχηρὰ Προσόμοια, Χαίροις ἀσκητικῶν ἀληθῶς.

Χαίροις ὁ Ἱεράρχης Χριστοῦ, ὁ τῆς Περγάμου, φαεινότατος πρόεδρος· ἡ στήλη θεοσοφίας, διδασκαλίας πηγή, νεκταρῶδες νᾶμα ἡ προχέουσα· ποιμὴν θεοπρόβλητε, ὁ σκηνώσας τὸ ποίμνιον, εἰς τόπον χλόης, πρακτικῆς καὶ εἰς ὕδατα, θείας γνώσεως, διαθρέψας ἀοίδιμε. Αἴτησαι ἐκτενέστερον, Ἀντίπα τὸν Κύριον, τῶν ὀφλημάτων τὴν λύσιν, καὶ τῶν ὀδόντων τὴν ἴασιν, ἡμῖν δωρηθῆναι, τοῖς ἐν πίστει ἐκτελοῦσι τὴν θείαν Μνήμην σου.

Στίχ. Στόμα δικαίου μελετήσει σοφίαν.

Χαίροις ὁ πιστὸς Μάρτυς Χριστοῦ, τῆς συμπαθείας, ὁ κρουνὸς ὁ ἀένναος· ἐλέους ἄφθονον ῥεῖθρον· τῶν ἱερῶν ἀρετῶν, τὸ τερπνὸν καὶ θεῖον ἐνδιαίτημα· ἰάσεων πέλαγος, πλημμυροῦν τοῖς προστρέχουσι, σεπτῷ Ναῷ σου· Ἀποστόλων ὁ σύγχρονος, καὶ ἐφάμιλλος, γεγονὼς ἱερώτατε. Αἴτησαι ἐκτενέστερον, Ἀντίπα τὸν Κύριον, τῶν ὀφλημάτων τὴν λύσιν, καὶ τῶν ὀδόντων τὴν ἴασιν, ἡμῖν δωρηθῆναι, τοῖς ἐν πίστει ἐκτελοῦσι τὴν θείαν Μνήμην σου.

Στιχ. Οἱ ἱερεῖς σου ἐνδύσονται δικαιοσύνην.

Χαίροις ὁ μυροββόας Χριστοῦ, μύρα εὐώδη,

ὁ ἐκβλύζων σῆς κόνεως, καὶ τούτοις πᾶσαν μυρίζων, τὴν Ἐκκλησίαν Θεοῦ, ῥοαῖς πανευόσμοις τῶν χαρίτων σου, δυσώδη παθήματα, τῶν ὀδόντων ἰώμενος, καὶ θεραπεύων, τὰς ψυχὰς καὶ τὰ σώματα, τῶν ἐκ πόθου σοι, προστρεχόντων καὶ πίστεως· μύρισον οὖν τοῖς μύροις σου ἡμᾶς τοὺς τιμῶντάς σε, μεμυρισμένοις ἐν ὕμνοις, καὶ δυσωδίαν ἀπέλασον, κακίας ἁπάσης, ἀρετῶν δὲ εὐωδίας ἅπαντας πλήρωσον.

Δόξα, Ἦχος πλ. δ'.

Δεῦτε φιλομάρτυρες πάντες, πνευματικὴν χορείαν στησάμενοι, Ἀντίπαν τὸν Θεομαρτύρητον μακαρίσωμεν· τὴν πλήρη φρονήσεως πολιάν· τὸν πιστὸν Μάρτυρα τοῦ Χριστοῦ· τὸν πύργον τῆς εὐσεβείας, καὶ τῆς ἐν Περγάμῳ Ἐκκλησίας τὸν φαεινότατον ἀστέρα· οὗτος γὰρ Ἀποστολικοῖς ἠγλαϊσμένος χαρίσμασι, καὶ τὴν ἐξ ὕψους δύναμιν ἐνδεδυμένος τοῦ Ἁγίου Πνεύματος, κατὰ τῶν ἀκαθάρτων πνευμάτων τὸ κράτος ἐκτήσατο, καὶ ταῦτα πόῤῥω τῆς Περγάμου ἐδίωξεν· ἀποκτανθεὶς δὲ διὰ Κύριον, χάριν ἐξαίρετον εἴληφε, τὰς ἀλγηδόνας ἰατρεύειν τῶν ὀδόντων, τῶν μετὰ πίστεως ἐπικαλουμένων αὐτὸν, καὶ τελούντων ἐκ πόθου, τὴν ἱερὰν αὐτοῦ ἄθλησιν.

Καὶ νῦν, Δέσποινα πρόσδεξαι. Ἀπολυτίκιον ἦχος Α'.
Τῆς ἐρήμου πολίτης.

Μυροβλύτην τὸν θεῖον, καὶ Μαρτύρων τὸν σύναθλον, τὸν πανευκλεῆ Ἱεράρχην καὶ Περγάμου τὸν πρόεδρον, τιμήσωμεν Ἀντίπαν οἱ πιστοί, ὡς τάχιστον καὶ μέγαν ἰατρὸν, τῆς δεινῆς ὀδόντων νόσου καὶ πρὸς αὐτὸν, ἀπὸ ψυχῆς βοήσωμεν· Δόξα τῷ σὲ δοξάσαντι Χριςῷ. Δόξα τῷ σὲ ςεφανώσαντι. Δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

Δόξα ἕτερον, Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τὸν Ἰσαπόστολον Χριστοῦ Ἱεράρχην, καὶ ἀθλητὴν παναληθῆ τοῦ Σωτῆρος, καὶ ἰατρὸν πανάριστον τῶν νόσων ἐν ᾠδαῖς, ἅπαντες τιμήσωμεν, πρὸς αὐτὸν ἐκβοῶντες· πρόφθασον καὶ λύτρωσαι, τῆς ὀδόντων ὀδύνης, τῆς ἀφορήτου ἵνα σε ἀεὶ, ὡς εὐεργέτην Ἀντίπα γεραίρωμεν.

Καὶ νῦν, Θεοτοκίον. Μετὰ τὴν ά. Στιχολογίαν Κάθισμα Ἦχος ά.
Τὸν τάφον σου Σωτήρ.

Ὡς ἥλιος λαμπρὸς, ὡς ἀστὴρ ἑωσφόρος, ἡ Μνήμη σου σοφὲ, Ἱεράρχα Ἀντίπα, ἐπέλαμψε τοῖς πέρασι, καὶ πιστῶν κατεφώτισε, τὴν διάνοιαν, ταῖς τῶν θαυμάτων ἀκτῖσι· καὶ κατηύφρανε, τῶν σὲ τιμώντων ἐκ πόθου, καρδίας ἀοίδιμε.

Δόξα, τὸ αὐτό. Καὶ νῦν, Θεοτοκίον.

Μαρία ἡ τὰς τρεῖς, ἀνηκούστους ἑνώσεις, ἑνώσασα φρικτῶς, Παρθενίαν καὶ τόκον· Θεόν τε καὶ τὸν ἄνθρωπον, πίστιν τε καὶ πιστεύουσαν, τοῖς φρικώδεσι, τούτοις καρδίαν ἀνθρώπου, ἡμᾶς ἕνωσον, τῇ τοῦ Υἱοῦ σου ἀγάπῃ καὶ σῶσον Πανύμνητε.

Μετὰ τὴν β'. Στιχολογίαν κάθισμ. Ἦχος δ'.
Κατεπλάγη Ἰωσήφ.

Θαυμαστὸν ὡς ἀληθῶς, κλέος σοι Μάρτυς προξενεῖ, ὃν ἐξεῖπε περὶ σοῦ, λόγος Χριστὸς ὁ Βασιλεὺς, ἀνακηρύττων σε Μάρτυρα στεφηφόρον, βαστάσαντα αὐτοῦ θεῖον ὄνομα, ὁ θρόνος Σατανᾶ ὅπου ἵστατο· καὶ δι' αὐτὸν στεῤῥῶς ἀποκταθέντα, Ἀντίπα Θεομαρτύρητε· ὅθεν σὲ πάντες, ἀνευφημοῦμεν, ἱεροῖς μελῳδήμασιν.

Δόξα, τὸ αὐτό. Καὶ νῦν, Θεοτοκίον.

Ἀπειρόγαμε Ἁγνὴ, πῶς συλλαμβάνεις ἐν γαστρὶ, τὸν ἁπάντων τὴν πνοὴν, περιλαμβάνοντα χερσί; φράσον ἡμῖν τὸν λόγον τοῦ μυστηρίου σου. Πανάληθές ἐστι τοῦτο ὦ ἄνθρωπε, καὶ παῦσαι ἐρευνῶν τὸ ἀκατάληπτον, ὕψος καὶ βάθος μῆκος καὶ πλάτος, τῆς ἀποῤῥήτου λοχείας μου· νικᾷ γὰρ τοῦτο, ἔννοιαν πᾶσαν, τῶν βροτῶν καὶ Ἀγγέλων.

Μετὰ τὸν πολυέλεον κάθισμ. Ἦχος δ'.
Ἐπεφάνης σήμερον.

Ἐξ ἑῴας ἔλαμψας, Μάρτυς Ἀντίπα, καὶ τὴν κτίσιν ἅπασαν, καταφωτίζεις νοητῶς, βολαῖς τῶν θείων θαυμάτων σου, καὶ ἰαμάτων ταῖς χάρισιν ἔνδοξε.

Δόξα τὸ αὐτό. Καὶ νῦν, Θεοτοκίον.

Ἐπληγώθην πάθεσιν, ἰάτρευσόν με· ἐν κακοῖς ἀπόλλυμαι, σῶσόν με Μήτηρ τοῦ Θεοῦ, ἡ τὸν Σωτῆρα κυήσασα, καὶ ἰατῆρα τῶν νόσων Πανύμνητε.

Οἱ ἀναβαθμοὶ τὸ ά. Ἀντίφωνον τοῦ δ'. Ἤχου. Προ-

κείμενον «Τὸ στόμα μου λαλήσει σοφίαν». Στίχ. «Οἱ Ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην». Εὐαγγέλιον ζήτει τὸ τοῦ Χρυσοστόμου· ὁ Ν. Δόξα, ταῖς τοῦ Ἱεράρχου. Καὶ νῦν, ταῖς τῆς Θεοτόκου. Ἐλέησόν με ὁ Θεός. Ἦχ. πλ. β'.

Ἱερομάρτυς Ἀντίπα, σὺ κοινωνὸς ἐπὶ γῆς τῶν παθημάτων τοῦ Χριστοῦ, χρηματίσας τὸ πρότερον, εἰκότως καὶ τῆς δόξης νῦν ἐν Οὐρανοῖς, αὐτῷ συμμέτοχος γέγονας, καὶ τῇ ἀρχιφώτῳ Θεότητι τῇ ἐν Τριάδι γνωριζομένῃ, ἀμέσως παρίστασαι· διό σου δεόμεθα, κοινωνοὺς τῆς σῆς δόξης, καὶ ἡμᾶς γενέσθαι ἀξίωσον, τοὺς ἐκ πόθου τελοῦντας, τὴν ἐτήσιον Μνήμην σου.

Κοντάκιον πρὸς τὸ, Τῇ ὑπερμάχῳ.

Τὸν Ἱεράρχην καὶ κλεινὸν Μεγαλομάρτυρα· τὸν πολιοῦχον τῆς Περγάμου τὸν πανάριστον· καὶ ἐχθροῦ κοινοῦ ἀντίπαλον τὸν Ἀντίπαν, κατὰ χρέος εὐφημήσωμεν ἐν ᾄσμασιν, ὡς τοὺς πάσχοντας ὀδόντας θεραπεύοντα, πόθῳ κράζοντες· Χαίροις Πάτερ τρισόλβιε.

Ἕτερον. Ἡ Παρθένος σήμερον.

Θείαν χάριν εἴληφας, παρὰ Χριστοῦ Ἱεράρχα, θεραπεύειν ἅπασαν, τὴν τῶν ὀδόντων ὀδύνην· ὅθεν μοι, τῷ σῷ οἰκέτῃ ταύτης μετάδος, πάσχοντι, καὶ κεκμηκότι ταῖς ἀλγηδόσιν· ἵνα κράζω σεσωσμένος· χαίροις Ἀντίπα, πιστῶν ἀγαλλίαμα.

Ὁ Οἶκος.

Τὸ πανάγιον Πνεῦμα, τὸ διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται τὰ ἑαυτοῦ χαρίσματα· ὥσπερ Ἀρτεμίῳ τὴν χάριν τῆς ἰάσεως, τῆς κήλης τῶν διδύμων ἐχαρίσατο· καὶ Χαραλάμπει τῆς ἀσθενείας τοῦ λοιμοῦ· Μοδέστῳ δὲ, τὴν τῶν ζώων φυλακὴν ἐπρυτάνευσε· καὶ Τρύφωνι τὴν τῶν κήπων· καὶ Στυλιανῷ τὴν τῶν παίδων. Οὕτω καὶ σοί, τὴν θεραπείαν τῆς ἀφορήτου τῶν ὀδόντων ὀδύνης ἐχαρίσατο, Ἀντίπα Θεομαρτύρητε· ὅθεν οἱ πάσχοντες, τὸ σὸν μόνον ἐπικαλούμενοι ὄνομα, σωτῆρα καὶ ἰατρὸν τῆς ὀδονταλγίας εὑρίσκουσιν ὀξύν τε καὶ ἄμισθον· καὶ διὰ τοῦτο ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν, περιβόητος ἐγένου τοῖς θαύμασι, καὶ τῆς τῶν πιστῶν γλώσσης ἡδὺ ὑπάρχεις ἐντρύφημα, ὕμνοις καὶ ᾠδαῖς γεραιρόντων τὴν Μνήμην σου, καὶ πόθῳ ἀνακραζόντων σοι· Χαίροις Ἀντίπα πιστῶν ἀγαλλίαμα.

Ἐξαποστειλάριον, Γυναῖκες ἀκουτίσθητε.

Μεγάλως σε ἐδόξασεν, ἐπὶ τῆς γῆς ὁ Κύριος, Ἀντίπα Ἱερομάρτυς, κρήνην τὸ σῶμά σου δείξας, μύρου εὐώδους ἔνδοξε· ὅπερ βλύζον ἀένναον, πάθη ψυχῆς καὶ σώματος, τῶν ἀδιστάκτῳ καρδίᾳ, σοὶ προστρεχόντων ἰᾶται.

Θεοτοκίον.

Μαρία ὁ χρυσόπλοκος, τῆς Θεότητος θάλαμος· εὐγένεια βροτῶν γένους, ἡ κοσμήσασα Κόσμον, τὴν ἀκοσμίαν κόσμησον, τῆς ψυχῆς μου τὸ ἄκοσμον, τῆς ἐκ πόθου καὶ πίστεως, κοσμούσης σε ἐν εὐκόσμοις, ὑμνολογίαις παρθένε.

Εἰς τοὺς Αἴνους ἱστῶμεν Στιχ. δ'. καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος ά.

Τῶν οὐρανίων Ταγμάτων.

Τοῦ Ἱεράρχου Ἀντίπα, δεῦτε συνέλθωμεν, ἐν τῷ Ναῷ τῷ Θείῳ, καὶ αὐτοῦ τὴν Εἰκόνα, τὴν πάνσεπτον σὺν φόβῳ, καὶ χαρμονῇ, προσκυνήσωμεν ἅπαντες, καθικετεύοντες τοῦτον πάσης ὀργῆς, καὶ ἀνάγκης ἡμᾶς ῥύεσθαι.

Θυσίαν πρότερον μάκαρ τῷ Παντοκράτορι, τὴν μυστικὴν προσάγων ὥσπερ θύτης Κυρίου, ὕστερον θυσίαν καὶ λογικὸν, ὁλοκαύτωμα Ἅγιε, σαυτὸν προσήγαγες τούτῳ διὰ πυρὸς, ὥσπερ Μάρτυς ἐννομώτατος.

Πλουσίαν χάριν τρισμάκαρ, Ἀντίπα εἴληφας, παρὰ Χριστοῦ τὰς νόσους, τῶν ψυχῶν καὶ σωμάτων, ἰᾶσθαι καὶ ἐξόχως, τὰ ἀλγεινὰ, τῶν ὀδόντων παθήματα· διὸ θεράπευσον Ἅγιε καὶ ἡμᾶς, τοὺς κατ' ἄμφω δεινῶς πάσχοντας.

Τοῖς Ἀποστόλοις συνήφθης, ὡς Ἰσαπόστολος· τοῖς Μάρτυσιν ὡς Μάρτυς, Ἱεράρχαις τε πᾶσιν, Ἀντίπα Θεοφόρε, ὡς εὐκλεὴς, Ἱεράρχης καὶ ἔνθεος· καὶ τὸν Χριστὸν ἱκετεύεις ὑπὲρ ἡμῶν· τῶν ἐκ πόθου εὐφημούντων σε.

Δόξα, Ἦχος πλ. ά.

Σαλπίσωμεν ἐν σάλπιγγι ᾀσμάτων, χορεύσωμεν τῷ πνεύματι, καὶ κροτήσωμεν εὐφραινό-

μενοι, ἐν τῇ πανδήμῳ πανηγύρει τοῦ Ἱεράρχου Χριστοῦ. Ἱερεῖς καὶ Ἄρχοντες συντρεχέτωσαν, καὶ τὸν τῶν θαυμάτων δεξάμενον τὴν χάριν, καὶ ταῦτα τοῖς χρήζουσιν ἐκχέοντα ποταμηδόν, ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς εὐφημείτωσαν· οἱ πένητες τὸν βοηθόν· οἱ δαιμονῶντες τὸν ῥύστην· οἱ ἐν συμφοραῖς τὸν σωτῆρα· οἱ νοσοῦντες τὸν ἰατρόν· οἱ ὀδονταλγοῦντες τὴν θεραπείαν· οἱ πλημμελοῦντες τὸν θερμὸν πρέσβυν· οἱ ὁδοιπόροι τὸν συνοδίτην· οἱ πάντες τὸν πάντα πᾶσι γινόμενον, μέγιστον Ἱεράρχην, ἐγκωμιάζοντες οὕτως εἴπωμεν· Ἀντίπα Ἰσαπόστολε, μεσίτευσον ὑπὲρ ἡμῶν, πρὸς τὸν Θεὸν καὶ Δεσπότην, καὶ ῥῦσαι κολάσεως ταῖς ἱκεσίαις σου.

Καὶ νῦν, μακαρίζομέν σε. Δοξολογία μεγάλη, καὶ ἀπόλυσις. Εἰς τὴν Λειτουργίαν Τυπικά, καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου Ὠδὴ γ'. καὶ ϛ'. Ἀπόστολον ζήτει Κυριακῇ μετὰ τὰ Φῶτα· Ἀδελφοὶ ἑνὶ ἑκάστῳ ἡμῶν. Εὐαγγέλ. ζήτει Φεβρουαρ. ιά. τοῦ Ἁγίου Βλασίου.

ΜΕΓΑΛΥΝΑΡΙΑ.

Ἔχει τὸ σὸν πνεῦμα ὁ Οὐρανός, σῶμα δὲ τὸ θεῖον, ἐν Περγάμῳ τῇ θαυμαστῇ, πόλει κατετέθη, βλύζον ἄφθονα μύρα, καὶ θαύματα πηγάζον, Ἀντίπα μέγιστε.

Ὁ Περγάμου πρόεδρος καὶ φρουρός, καὶ τῆς εὐσεβείας, Θεοῤῥήμων ὑφηγητής, ὁ τῶν Ἀποστόλων ὁμόχρονος καὶ σύμπνους, τιμάσθω μοι Ἀντίπας ὁ ἱερόαθλος.

Τὸν ἐν χαλκουργήματι Ἀθλητήν, πυρώδει βληθέντα, δι' ἀγάπην τοῦ Ἰησοῦ, τὸν ὀδοντοσώστην Ἀντίπαν τὸν Περγάμου, ποιμένα πόθῳ πάντες ἀνευφημήσωμεν.

Ἔχοντες Εἰκόνα σου τὴν σεπτήν, Ἀντίπα τρισμάκαρ, ὡς προπύργιον ὀχυρόν, προσφεύγομεν ταύτῃ ἐν πᾶσι τοῖς κινδύνοις, καὶ πόνου τῶν ὀδόντων ἀπολυτρούμεθα.

ΕΥΧΗ ΙΚΕΤΗΡΙΟΣ
ΠΡΟΣ ΤΟΝ ΑΓΙΟΝ ΤΡΥΦΩΝΑ,
ΕΑΝ ΣΥΜΒΗ ΒΛΑΠΤΕΣΘΑΙ ΤΑ ΧΩΡΑΦΙΑ ΚΑΙ ΚΗΠΟΥΣ ΚΑΙ ΑΜΠΕΛΩΝΑΣ ΥΠΟ ΕΡΠΕΤΩΝ ΚΑΙ ΑΚΡΙΔΩΝ ΚΑΙ ΖΩΥΦΙΩΝ.

Πρῶτον γενέσθω ἡ τάξις ἡ διοριζομένη ἐν τῷ Εὐχολογίῳ, καὶ λεγέσθω ὑπὸ τοῦ Ἱερέως ἡ ἐκεῖ γεγραμμένη Εὐχή. Εἶτα λεγέσθω ὑπ' αὐτοῦ καὶ ἡ πρὸς τὸν Ἅγιον Τρύφωνα Δέησις αὕτη, μετὰ εὐλαβείας πίστεώς τε καὶ κατανύξεως.

Πανένδοξε Μάρτυς τοῦ Χριστοῦ, καὶ στρατιῶτα τοῦ ἐπουρανίου Βασιλέως Τρύφων παμμακάριστε, τῆς ἀκηράτου τρυφῆς ὁ ἐπώνυμος· ὁ γενναίως τὸν Χριστὸν ἐπὶ τῆς γῆς ὁμολογήσας, καὶ διὰ τοῦτο νῦν ἐν Οὐρανοῖς τῆς ἀϊδίου ἀπολαύων μακαριότητος, καὶ μετὰ παῤῥησίας τῷ θρόνῳ τῆς τρισηλίου Θεότητος παριστάμενος· Σοῦ τῇ μαρτυρικῇ μεγαλειότητι προστρέχομεν μετὰ Θεόν, πάντες ἡμεῖς οἱ ἁμαρτωλοὶ καὶ ἀνάξιοι δοῦλοί σου· καὶ ἱκετεύομεν τὴν συμπαθεστάτην καὶ χριστομίμητόν σου φιλανθρωπίαν, ἵνα, σπλαγχνισθεὶς ἐφ' ἡμᾶς τοὺς ἐν ἀνάγκῃ ὄντας καὶ περιστάσει, ἀποδιώξῃς μακρὰν τῶν χωραφίων, καὶ κήπων, καὶ ἀμπελώνων ἡμῶν πάντα τὰ ἑρπετά, καὶ ἀκρίδας καὶ κάμπας, καὶ πολυειδῆ ζωΰφια καὶ θηρία, τὰ βλάπτοντα τοὺς καρπούς, καὶ φύλλα, καὶ ῥίζας τῶν δένδρων, καὶ πάντων τῶν λαχάνων τε καὶ γεννημάτων καὶ ὀσπρίων ἡμῶν. Σὺ γὰρ ἐξαίρετον καὶ ἰδιαιτέραν εἴληφας τὴν χάριν ταύτην, πολύαθλε, παρὰ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Οὐ μόνον πρώην ἔτι ζῶν, διὰ τὴν θεάρεστον πολιτείαν σου, ἀλλὰ πολλῷ μᾶλλον νῦν μετὰ θάνατον, διὰ τὸ μαρτυρικὸν καὶ δι' αἵματος τέλος, ὃ ὑπὲρ τῆς αὐτοῦ ὁμολογίας καὶ πίστεως ὑπέμεινας.

Ναὶ ὁμολογοῦμεν, ὅτι διὰ τὰς ἁμαρτίας ἡμῶν

ταύταις ταῖς συμφοραῖς παρεδόθημεν, καὶ τῇ τοῦ Θεοῦ ὀργῇ ὑπεπέσαμεν, ἀλλὰ σὺ γενναῖε Ἀθλητὰ, εἰ μόνον θελήσεις τῇ μαρτυρικῇ σου παῤῥησίᾳ χρήσασθαι, πιστεύομεν ὅτι ῥᾳδίως κατασβέσεις τὴν καθ' ἡμῶν ἐξαφθεῖσαν ταύτην τοῦ Θεοῦ ἀγανάκτησιν, καὶ τὴν ἀθυμίαν ἡμῶν εἰς εὐθυμίαν μεταποιήσεις. Ὅθεν ἐπειδὴ διὰ τὸ πλῆθος τῶν ἁμαρτιῶν ἡμῶν οὐκ ἔχομεν παῤῥησίαν στῆναι ἐνώπιον τῆς ἀθλοφορικῆς σου δόξης, καὶ ἀμέσως τὴν ἱκεσίαν ποιήσασθαι· διὰ τοῦτο μεσίτην ἀντὶ ἡμῶν σοὶ προβαλλόμεθα αὐτό σου τὸ αἷμα, ὃ ὑπὲρ Χριστοῦ ἐξέχεας, πανεύφημε, καὶ αὐτὰ τὰ μαρτυρικὰ ἀγωνίσματα, ἅπερ ὑπήνεγκας ἐν τῷ ἀθλητικωτάτῳ σου σώματι.

Ἐπιδε τοίνυν, εὐσπλαγχνικώτατε Μάρτυς, ἐπ' αὐτὰ, δι' ὧν τὸν Χριστὸν ὡμολόγησας, καὶ τὸν ἀμαράντινον τοῦ μαρτυρίου ἔλαβες στέφανον, καὶ ἐπάκουσον τῆς δεήσεως ἡμῶν τῶν ταπεινῶν οἰκετῶν σου, καὶ τῆς ἐνεστώσης ἀνάγκης τῶν ἑρπετῶν καὶ ἀκρίδων καὶ θηρίων καὶ πολυειδῶν ζωϋφίων, τῶν λυμαινομένων τοὺς καρποὺς τῶν χωραφίων καὶ ἀμπελώνων καὶ κήπων ἡμῶν, ἀπολύτρωσαι, ὅτι κινδυνεύομεν ὑπ' αὐτῶν λιμῷ καὶ θανάτῳ καὶ παντελεῖ παραδοθῆναι ἀφανισμῷ, ἡμεῖς τε καὶ πᾶσα ἡ ὕπαρξις ἡμῶν, ἐὰν μὴ οἱ οἰκτιρμοί σου ταχέως ἡμᾶς προκαταλάβωσιν· ἵνα διὰ τῆς σῆς ὀξείας προστασίας τοῦ ἐπικειμένου κινδύνου ἀπαλλαγέντες, ἀκαταπαύςως καὶ χρεωστικῶς τὸ σὸν μεγαλύνωμεν ὄνομα, σωτῆρα ἡμῶν καὶ εὐεργέτην καὶ ἀντιλήπτορα μετὰ Θεὸν σὲ ἐπιγραφόμενοι, καὶ διὰ σοῦ δοξάζωμεν τὸν κοινὸν Δεσπότην, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὸν ἐν γῇ καὶ Οὐρανῷ σὲ δοξάσαντα. Ὦ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, σὺν τῷ Πατρὶ καὶ τῷ Ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας. Ἀμήν. (Ὅρα εἰς τὴν πρώτην τοῦ Φεβρουαρίου, ὅτε ἑορτάζεται ὁ Ἅγιος Τρύφων.)

Εἶτα λεγέσθω ἡ τοῦ Ἁγίου Τρύφωνος Εὐχή· «Ὄντος μου ἐν Λαμψάκου κώμῃ»(1), καὶ τὰ ἑξῆς μέχρι τέλους. Ἂς ἀναφέρηται δὲ ἐν τῷ τέλει καὶ τὸ ὄνομα τοῦ Ἁγίου καὶ Ὁμολογητοῦ Εὐσχήμου, Ἐπισκόπου Λαμψάκων· διότι καὶ αὐτὸς ἔλαβε χάριν παρὰ Θεοῦ νὰ διώκῃ μὲ μόνην τὴν προσταγήν του τὰ θηρία ἐκεῖνα, τὰ ὁποῖα κατατρώγουσι τὰ χλοηφόρα λάχανα, καὶ ὅρα εἰς τὸ Συναξάριόν του κατὰ τὴν δεκάτην τετάρτην τοῦ Μαρτίου. Ὁμοίως ἂς ἀναφέρηται καὶ τὸ ὄνομα τοῦ Ἁγίου Μέμνονος τοῦ θαυματουργοῦ, τοῦ κατὰ τὴν δεκάτην ἐννάτην Μαΐου ἑορταζομένου, ὃς τις ἔλαβε χάριν νὰ διώκῃ τὰς ἀκρίδας, ὡς ἐν τῷ Συναξαρίῳ ἐκείνου ὁρᾶται.

ΕΞΟΡΚΙΣΜΟΣ ΤΟΥ ΑΓΙΟΥ ΜΑΡΤΥΡΟΣ ΤΡΥΦΩΝΟΣ

Λεγόμενος εἰς κήπους, ἀμπελῶνας καὶ χωράφια.

Ὄντος μου ἐν Λαμψάκου κώμῃ, καὶ τὰς χήνας ἐπιμελουμένου μου καὶ βόσκοντος, ὀργὴ κατῆλθεν ἀπὸ Θεοῦ παντοκράτορος, οὐκ εἰς τὸν τόπον ἐκεῖνον μόνον, ἀλλὰ καὶ εἰς τὰς κύκλῳ περιχώρους, τουτέστιν ὀργὴ πρὸς πᾶσαν ἄμπελον, χώραν τε καὶ κῆπον, ἀθρόως τῶν φύλλων καὶ τῶν καρπῶν βριθομένων, μαραινομένων καὶ ἀφανιζομένων. Ὁρῶν οὖν ἐγὼ ὁ ἐλάχιστος Τρύφων οὕτω τηκομένους τοὺς καρποὺς, καὶ διὰ ταύτην τὴν αἰτίαν δαπανωμένους τοὺς ἀνθρώπους, τῷ παντελεῖ ἀφανισμῷ τῶν καρπῶν τῆς γῆς, τῶν τε χωραφίων, ἀμπέλων, κήπων καὶ λαχάνων, καὶ παντοίων δένδρων τῷ τοιούτῳ ὀλέθρῳ παραδιδομένων, διαπονηθεὶς, ἐδεήθην πρὸς τὸν Κύριον καὶ Θεόν μου, τοῦ γενέσθαι ἀφανῆ πάντα τὰ θηρία, τὰ πρὸς ἀδικίαν καὶ φθορὰν ὑπάρχοντα τῶν τε κήπων, καὶ χωραφίων, καὶ ἀμπέλων, καὶ παντοίων δένδρων τε καὶ λαχάνων, καὶ μάλιστα τῶν τὴν κώμην ἐκείνην οἰκούντων τῆς παρακειμένης λίμνης, καὶ πρὸς ὑπόκλησιν καὶ πρόσκλησίν μου παραγενομένων. Καὶ δὴ εἰς προσευχὴν κλίναντός μου τὸ γόνυ, καὶ τὰς χεῖρας πρὸς τὸν Θεὸν ἐκπετάσαντος, ὁ εἰσακούων τῶν εἰς αὐτὸν πεποιθότων Θεὸς, αὐτὸς ἐξαπέστειλεν ἐξ ἑτοίμου κατοικητηρίου αὐτοῦ Ἄγγελον, τοῦ πατάξαι πᾶν φῦλον καὶ πᾶν γένος κακούργων θηρίων, τῶν ἀδικούντων τὴν ἀμπε-

(1) Τὴν Εὐχὴν ταύτην, ἢ ὀρθότερον εἰπεῖν τὸν Ἐξορκισμὸν τοῦ Ἁγ. Τρύφωνος εὑρίσκει παρακατιὼν ὁ ἀναγνώστης κατακεχωρημένον, διότι ἐνομίσαμεν κατάλληλον τὴν ἐνταῦθα καταχώρησίν του. Σ. Ε.

λον, τὴν χώραν τε καὶ τὸν κῆπον τῶν δούλων αὐτοῦ, ὁ καὶ τῶν θηρίων τούτων τὰ ὀνόματα σαφῶς ἐπιστάμενος· οἷα Κάμπη, Σκώληξ, Σκωληκοκάμπη, Σκάνθαρος, Βροῦχος, Ἀκρίς, Ἐπίμαλος, Καλιγάρις, Μακρόπους, Μύρμηξ, Φθείρ, Ῥυγίτης, Ψυλλίτης, Καυσοκόπος, Ἐρυσίβη, Κοχλοί, Ψαλίτης, καὶ εἴτι ἄλλο προςφυσοῦν καὶ μαραῖνον τὸν καρπὸν τῆς σταφυλῆς καὶ τῶν λοιπῶν εἰδῶν καὶ λαχάνων· οὐ μὴν δὲ, ἀλλὰ καὶ αὐτὸς ἐγὼ ὅρκῳ ταῦτα ἐδέσμουν, τοῦ μηκέτι τοὺς τόπους τῶν ἐμὲ προσκαλουμένων ἐπιβαίνειν τούτους καὶ διατρίβειν, ἀλλ᾽ ἐπὶ ἀβάτων τόπων ἐπέταξα ἀπελθεῖν. Ὁ δὲ ὅρκος τοιοῦτός ἐστιν· Ὁρκίζω ὑμᾶς κατὰ τῶν ἁγίων πολυομμάτων Χερουβίμ, καὶ τῶν ἑξαπτερύγων Σεραφὶμ, τῶν ἱπταμένων κύκλῳ τοῦ θρόνου, καὶ κραζόντων τό· Ἅγιος, Ἅγιος, Ἅγιος, Κύριος Σαβαὼθ, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν. Ὁρκίζω ὑμᾶς κατὰ τῶν ἁγίων Ἀγγέλων, καὶ πάσης Δυνάμεως, καὶ τῶν μυρίων μυριάδων, καὶ χιλίων χιλιάδων, τῶν φόβῳ πολλῷ ἱσταμένων κατενώπιον τῆς δόξης Κυρίου· μὴ ἀδικήσητε τὴν ἄμπελον, μήτε τὴν χώραν, μήτε τὸν κῆπον τῶν δένδρων τε καὶ λαχάνων τοῦ δούλου τοῦ Θεοῦ (τοῦ δεῖνος), ἀλλὰ ἀπέλθετε εἰς τὰ ἄγρια ὄρη, εἰς τὰ ἄκαρπα ξύλα, εἰς ἃ ἐχαρίσατο ὑμῖν ὁ Θεὸς τὴν καθημερινὴν τροφήν. Ὁρκίζω ὑμᾶς κατὰ τοῦ τιμίου Σώματος καὶ Αἵματος Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν, δι᾽ οὗ καὶ ἡ σωτηρία ἐδόθη ἡμῖν καὶ ἀπολύτρωσις, καὶ ὑπὲρ οὗ μέλλομεν ἀποθνήσκειν· μὴ ἀδικήσητε μήτε τὴν χώραν, μήτε τὴν ἄμπελον, μήτε τὸν κῆπον, μήτε πᾶν δένδρον κάρπιμόν τε καὶ ἄκαρπον, ἢ φύλλον λαχάνων ἀδικήσητε, ἐκ τοῦ περιορισμοῦ καὶ τόπου τοῦ δούλου τοῦ Θεοῦ (τοῦ δεῖνος)· εἰδὲ παρακούσητέ μου, καὶ παραβῆτε τὸν ὅρκον, ὃν ὥρκισα ὑμᾶς, οὐκ ἔχετε πρὸς ἐμὲ τὸν ταπεινὸν καὶ ἐλάχιστον Τρύφωνα, ἀλλὰ πρὸς τὸν Θεὸν τοῦ Ἀβραὰμ καὶ Ἰσαακ καὶ Ἰακὼβ τὸν ἐρχόμενον κρῖναι ζῶντας καὶ νεκρούς. Διὸ, καθὼς προεῖπον ὑμῖν, ὑπάγετε εἰς τὰ ἄγρια ὄρη, εἰς τὰ ἄκαρπα ξύλα· εἰδὲ μὴ ἀκούσητέ μου, ἱκετεύειν μέλλω τὸν φιλάνθρωπον Θεὸν τοῦ ἀποστεῖλαι τὸν Ἄγγελον αὐτοῦ τὸν ἐπὶ τῶν θηρίων, καὶ σιδήρῳ καὶ μολύβδῳ δήσει ὑμᾶς καὶ ἀποκτενεῖ, ἀνθ᾽ ὧν τοὺς ὅρκους καὶ τὴν προσευχὴν ἐμοῦ τοῦ ταπεινοῦ ἠθετήσατε Τρύφωνος· ἀλλὰ καὶ οἱ στρουθοὶ, πεμπόμενοι δι᾽ ἐμῆς προσευχῆς, καταφάγονται ὑμᾶς. Ἔτι ὁρκίζω ὑμᾶς κατὰ τοῦ μεγάλου Ὀνόματος, τοῦ ἐπὶ τῆς πέτρας ἐπιγραφέντος, καὶ μὴ βαστασάσης, ἀλλὰ διαῤῥαγείσης, ὡσεὶ κηρὸς προσώπου πυρός. Ἐξέλθετε ἐκ τῶν καθ᾽ ἡμᾶς εἰς οὓς προεῖπον ὑμῖν τόπους ἀβάτους, καὶ ἀνύδρους, καὶ ἀκάρπους· ἐξέλθετε ἀπὸ τοῦ τόπου καὶ περιορισμοῦ τῶν δούλων τοῦ Θεοῦ, τῶν κἀμὲ προσκαλουμένων εἰς βοήθειαν αὐτῶν, καὶ ἀντίληψιν, καὶ σωτηρίαν· ἵνα καὶ ἐν τούτοις δοξασθῇ τὸ πανάγιον ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, καὶ αἱ προσευχαὶ καὶ αἱ αἰτήσεις τοῦ ταπεινοῦ Τρύφωνος ἐκπληρωθῶσιν. Ὅτι τῷ Θεῷ πρέπει δόξα καὶ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Bayerische Staatsbibliothek München

ΠΙΝΑΞ

Κατ' ἀλφάβητον

ΤΩΝ ΕΝ ΤΩ ΔΕΥΤΕΡΩ ΤΟΥΤΩ ΤΟΜΩ

ΤΟΥ ΣΥΝΑΞΑΡΙΣΤΟΥ

ΠΕΡΙΕΧΟΜΕΝΩΝ ΑΞΙΟΜΝΗΜΟΝΕΥΤΩΝ.

Α

Ἀγαθῶν τῶν Οὐρανίων διὰ τὴν στέρησιν, ποῖος ἔκλαιε πάντοτε, εἰς τὴν 6'. ὑποσημ. Σελ. 139
Ἄγγελος τίνας Ἁγίους ἔλυσε καὶ ἐποίησεν ὑγιεῖς. 155
Τὶς ἔλεγεν ὑποκριτικῶς, ὅτι εἶναι Ἄγγελος Θεοῦ. 160
Ἄγγελοι ποίαν δὲν ἄφησαν νὰ ἐκδύσουν. 167
Ποῖον ἐφύλαττον, καὶ δὲν ἄφιναν νὰ τὸν ἐγγίσουν. 171
Ποίους ἔλυσαν καὶ ἐχόρτασαν πεινασμένους. 174
Ἄγγελος ἐτύφλωσε τοὺς διαφθείρειν μέλλοντας τὴν Ἰουλιανήν, αὐτόθι.
Δι' Ἀγγέλων πρέπει νὰ στέλλωμεν τὰ ζητήματά μας εἰς τὸν Θεόν, εἰς τὴν ὑποσημ. 198
Ἄγγελος εἰς ποίους ἔφερε τροφὴν 219 καὶ 258
Ἄγγελοι ἤξευραν τὴν ἐνανθρώπησιν τοῦ Κυρίου τὸν δὲ τρόπον αὐτῆς ἠγνόουν, εἰς τὴν ὑπ. 224
Ἅγιοι πολλοὶ ἀποβάλλοντες τὴν βαρύτητα τοῦ σώματος, ἡρπάζοντο καὶ ἐν στιγμῇ διέβαινον διαστήματα πάμπολλα, εἰς τὴν δ'. ὑποσημείωσιν. 194
Τὸ μετὰ τὴν ἀνάστασιν ἀξίωμα, ἀπὸ ἐδῶ ἔλαβον, αὐτόθι.
Ἅγιοι προϋπαντῶσι τοὺς τιμῶντας αὐτοὺς μὲ ἐγκώμια. 246
Ἀδριανὸς τί ἦτον. 44
Ἄθω Ὄρος ὑπὸ τίνος φυλάττεται, εἰς τὴν ὑποσημείωσιν. 283
Αἰλείμ τί θέλει νὰ εἰπῇ, εἰς τὴν ὑποσημείωσιν. 12
Αἱρετικοὶ πρέπει μὲ Βασιλικὴν προσταγὴν νὰ διώκωνται ἀπὸ τὴν ἐξουσίαν ὁποῦ ἔχουν. 152
Ἀκρίδας ποῖοι Ἅγιοι ἔλαβον χάριν νὰ διώκουν ἀπὸ τὰ χωράφια, εἰς τὴν ὑποσ. 202 καὶ 295
Ἁμαρτίαν του τὶς ὁμολογήσας εἰς τὸν Κριτήν, ἔλαβε παρ' αὐτοῦ τὴν παρὰ τῶν πολιτικῶν νόμων παιδείαν. 264
Ἀμυγδαλίαν τὶς ἔκοψε, διὰ νὰ μὴ ἀπολαμβάνῃ τὸν ἴσκιόν της. 146
Ἀνανὶ ὁ Προφήτης τί ἐπροφήτευσεν, εἰς τὴν γ'. ὑποσημείωσιν. 230
Ἀναργύρων θαύματα τὶς συνέγραψε. 192
Ἀναστάσιοι δύω εἶναι, οἱ αὐτοὶ καὶ Σιναΐται, καὶ Ἀντιοχείας Ἐπίσκοποι, καὶ Ἱερομάρτυρες, εἰς τὴν ὑποσημείωσιν. Σελ. 281
Αἱ τετυπωμέναι ἐρωταποκρίσεις τίνος ἐκ τῶν δύω εἶναι, εἰς τὴν ά. ὑποσημ. 296
Ποῦ αὗται εὑρίσκονται πλουσιώτεραι, αὐτόθι.
Ἀνδρείου στρατιώτου ποία εἶνε ἡ φυσιογνωμία. 287
Ἀνδρόγυνα ποῖα ἐφύλαξαν παρθενίαν. 210
Ἀνθύπατος ποῖος εἶναι. 145
Ἀντωνίου θαυμαστὸς ἔπαινος ποῖος εἶναι, εἰς τὴν ὑποσημείωσιν. 40
Διατί ἐμεγαλύνθη τὸ ὄνομα τοῦ Ἀντωνίου. 40
Δὲν ἐφοβεῖτο τὸν Θεόν, ἀλλ' ἠγάπα αὐτόν. 40
Ἀπὸ τῆς ἑορτῆς αὐτοῦ ἀνεχώρουν οἱ Πατέρες εἰς τὴν ἔρημον, αὐτόθι.
Ἀπόστολοι οἱ μετὰ τοὺς Δώδεκα, διατὶ λέγονται πάντες ἑβδομήκοντα, εἰς τὴν 6'. ὑποσημείωσιν. 12
Καὶ περισσότεροι εἶναι ἀπὸ τοὺς ἑβδομήκοντα, αὐτόθι.
Ἀπρίλλιος τὶ ὄνομα εἶναι, εἰς τὴν ὑποσημ. 242
Ἄργους Ἐπίσκοπος ποῖος ἦτον. 230
Ἀρετὴν τῶν Ἀσκητῶν τὶς μετεχειρίζετο κατοικῶν εἰς τὴν πόλιν. 192
Ἀρνησίχριστοι παιδεύονται ἀπὸ τὸν Θεὸν μὲ πολλὰ κακά. 257
Ἀρνησίχριστος Μάρτυς. 269
Ἄρτους τὶς ἐλάμβανε παρὰ θείου Ἀγγέλου ὅταν ἡσύχαζε. 16
Οὐχὶ δὲ καὶ ὅταν ἐκάθητο μετὰ ἀδελφῶν. 16
Ἄρτον τὶς οὐκ ἔφαγεν ἐπὶ τριάκοντα χρόνους. 29
Ἀσκηταὶ καὶ ἄλλοι ἦτο σύγχρονοι τοῦ Ἀντωνίου καὶ Παύλου τοῦ Θηβαίου ἐν τῷ Σινᾷ, εἰς τὴν ὑποσημ. 34

Β

Βάκλα εἶναι τὰ ξύλα δι' ὧν κτυποῦσι τὰ τύμπανα· μεσαῖος στῖχος ἀποστ. Τιμοθέου. 58
Βαπτισθεὶς ὁ Χριστὸς διατὶ ἀνέβη εὐθὺς ἀπὸ τοῦ ὕδατος, εἰς τὴν ὑποσημείωσιν. 18
Ὅλην τὴν φύσιν τῶν ὑδάτων ἡγίασεν. 18

Σελ.

Βάπτισμα ὁ Κύριος τὸ τοῦ Ἰωάννου, διὰ ποίας αἰτίας ἔλαβεν, εἰς τὴν ὑποσημείωσιν. 18
Τὸ τοῦ Ἰωάννου εἰς μίαν κατάδυσιν ἐγίνετο. 18
Γέφυρα ἦτο μεταξὺ τοῦ Ἰουδαϊκοῦ καὶ τοῦ ἡμετέρου, αὐτόθι.
Βάπτισμα τὸ ἡμέτερον χρεωστοῦμεν νὰ φυλάττωμεν καθαρόν. 19
Τὶς αὐτὸ διαπαῖξαι κελευσθεὶς, ἐβαπτίσθη. 157
Βαρθολομαίου Ἀποστόλου Ναὸν τὶς ἔκτισεν, ἔχων μέρος τοῦ Λειψάνου του. 246
Εἰς ποῖον ἐχάρισε τὸ νὰ συνθέτῃ εὐκόλως Τροπάρια, αὐτόθι.
Βαρύτητα σώματος πολλοὶ Ἅγιοι ἀπέβαλλον, εἰς τὴν δ'. ὑποσημείωσιν. 194
Βασιλεὺς τὶς τίνος Λείψανον ἐσήκωσεν εἰς τοὺς ὤμους του. 200
Τὶς τίνος ἐσκέπαζε τὸ Λείψανον μὲ τὴν χλαμύδα του 78
Βενεδικτινῶν τάγμα εἰς ἕνα τύπον μένον, ὕστερον ἐμοιράσθη, εἰς τὴν β'. ὑποσημείωσιν. 201
Βενέδικτος τὶ θέλει νὰ εἰπῇ. 201
Πρῶτος ὁ Ὅσιος Βενέδικτος ἔδειξε τὴν Μοναχικὴν ζωὴν ἐν τῇ Δύσει, εἰς τὴν β'. ὑποσ. 201
Τὶ Κανόνα ἐξέδωκεν, αὐτόθι.
Βιβλίον ποῖος Προφήτης εἶχε, τὸ ὁποῖον τώρα οὐχ εὑρίσκεται, εἰς τὴν β'. ὑποσημ. 24
Βιβλία τὰ περιέχοντα τῶν Μαρτύρων τὰ μαρτύρια, παρακινοῦσι νὰ μαρτυρῇ τίς. 59
Βιβλία Χριστιανῶν ποῖοι δὲν ἔδωκαν εἰς τὸ κατακαῆναι. 267
Βούλγαροι πολλοὺς Ἀρχιερεῖς καὶ Χριστιανοὺς ἐθανάτωσαν. 60
Βύσσος τί εἶναι, εἰς τὴν ὑποσημ. 79

Γ

Γαβριὴλ τὶ θέλει νὰ εἰπῇ εἰς τὴν ὑποσ. 225
Γένειον τὶς δὲν εἶχε διὰ τὴν ὑπερβολὴν τῶν ἀσκητικῶν κόπων. 48
Γεράσιμος Ὅσιος ἠπατήθη, εἰς τὴν ὑποσημ. 173
Πάλιν ἐδιωρθώθη, αὐτόθι.
Γέροντες ποῖοι ὄντες, μετεχειρίζοντο τοὺς τῶν νέων ἀγῶνας. 147
Γεώργιος ὁ Μεγαλομάρτυς ποίους ἐποίησε Μάρτυρας διὰ τοῦ μαρτυρίου του. 277 καὶ 280
Εἰς ποῖον μαζὺ εὑρίσκετο πάντοτε, διδάσκων καὶ αὐτὸν παντοίως προνοούμενος. 282
Ποῖον ἐπῆρε μαζύ του, ὅταν ἔμελλε νὰ τελευτήσῃ, αὐτόθι.
Τοῦ Ὄρους τοῦ Ἄθω εἶναι ὀροφύλαξ, εἰς τὴν ὑποσημείωσιν. 284

Σελ.

Τίνες ἐπίστευσαν τῷ Χριστῷ διὰ τοῦ Ἁγίου Γεωργίου. 280. 284 καὶ 288.
Γεωργοὺς ὁ τυραννικῶς ζημιῶν καὶ πέρνων ἀπὸ αὐτοὺς τοὺς καρποὺς, πῶς παιδεύεται, εἰς τὴν β'. ὑποσημείωσιν. 63
Γρηγόριος διατὶ λέγεται Διάλογος, εἰς τὴν ὑποσημ. 198
Μέγας ἐπωνομάσθη, εἰς τὴν ὑποσημείωσιν. 199
Οὐδεὶς τῶν διαδόχων του ἔγινεν ὅμοιος αὐτοῦ. 199
Ταπεινὸς ἦτον, αὐτόθι.
Πόσα βιβλία συνέγραψεν, αὐτόθι.
Τίς ταῦτα μετέφρασεν, αὐτόθι.
Γυναῖκες αἱ πλύνουσαι μὲ ἀδιάντροπα σχήματα, πῶς παιδεύονται 32
Γυνὴ ἀκάθαρτος, πόσον φαίνεται βρωμερὰ εἰς τὰς Ἁγίας. 55
Ποία ἐφόρεσεν ἀνδρικὰ φορέματα, καὶ ἔμεινεν ἔγκλειστος. 190
Ποίαν ἐλύτρωσεν ὁ Θεὸς ἀπὸ τὴν βίαν ἀνδρός. 206
Γυνὴ ποία τὴν Σωμανίτιδα μιμουμένη, ἔγινεν αἰτία νὰ ἀναστηθῇ ὁ υἱός της. 279
Γυναῖκες Ὅσιαι ποῖαι ἐφόρουν βαρέα σίδηρα. 161
Μεγαλώτατα φορέματα πρέπει νὰ ἔχουν, ὥστε νὰ σκεπάζουν καὶ τοὺς πόδας των. 161
Γυναῖκα Μάρτυρα τὶς ἐξήρπασεν ἀπὸ τὸ χαμαιτυπεῖον. 249
Γυναῖκές τινες ἀθλήτριαι, ποίαν ᾠδὴν ἔψαλλον. 268

Δ

Δαιμόνων τάγματα δύω εἶναι, καὶ ποῖα. 46
Δαίμων πότε εὑρίσκει χώραν καὶ ἐνεργεῖ, εἰς τὴν β'. ὑποσημείωσιν 47
Δαίμονες ποῖον πειράζοντες ἐξεῤῥίζωσαν πεντακόσια δένδρα. 158
Δαίμονες ἀπὸ ποῖον ἐστέλλοντο εἰς τὸ νὰ γεωργῶσι καὶ νὰ φυλάττωσι τοὺς καρπούς. 175
Ἐκλείσθησαν εἰς ἀγγεῖα πήλινα, αὐτόθι.
Ἀπὸ ποῖον Ἅγιον ἐδιώκοντο 260
Δαιμόνων τελώνια διάφορα, ἐξετάζουν τὴν ψυχὴν ὅταν ἀναβαίνει εἰς τὰ Οὐράνια. 295
Δάκρυα ποία Ὁσία ἔχυνεν, ὁσάκις ὡμίλει. 166
Καὶ τὴν χεῖρα φιλοῦσα, ἔβρεχεν αὐτὴν μὲ δάκρυα, αὐτόθι.
Τίς ἐγέννα ταῦτα, αὐτόθι.
Διάβολος εἰς τὰ μικρὰ νικῶν, ἢ νικώμενος τὶ γίνεται. 63
Καὶ τοὺς μεγάλους Ὁσίους γελᾷ. 236
Μετασχηματίζεται εἰς διαφόρων προσώπων σχήματα, αὐτόθι.
Διδάσκειν πότε χρὴ, εἰς τὴν ὑποσημείωσιν. 82

Δικαιοσύνη ποία ὀνομάζεται. Σελ. 18
Δονάτος ποῦ ἦτον Ἐπίσκοπος. 299
Ποῦ εὑρίσκεται τὸ λείψανόν του, εἰς τὴν δ'. ὑποσημείωσιν. 299
Δουλεῦτραι ποῖαι βλέπουσαι τὰς κυρίας αὐτῶν, ἐμιμήθησαν τὴν ὁσιακὴν ζωήν των. 161
Δοῦλος Θεοῦ τίς εἶναι, εἰς τὴν ὑποσημείωσιν. 82
Ἀπὸ τοὺς δούλους του ποῖος ἐμπαίζετο. 207
Δράκοντας ποῖοι ἐθανάτωσαν. 134 καὶ 137
Δράκοντας ὀγδοήκοντα πηχῶν εἰς τὸ μάκρος, ποῖοι ἠφάνησαν. 221
Δράκων ἑξήκοντα πηχῶν ἀπὸ ποῖον ἐθανατώθη 238

E

Ἑβδομήκοντα Ἀπόστολοι διατὶ λέγονται οἱ μετὰ τοὺς δώδεκα, καὶ οὐχὶ περισσότεροι, εἰς τὴν ὑποσημείωσιν. 12
Εἰς τί ἀλληγοροῦνται, αὐτόθι.
Ἑβραῖοι ὠνομάζοντο μὲ ὀνόματα τῶν Ἑλλήνων, εἰς τὴν ὑποσημ. 289
Ἐγκώμια εἰς τοὺς Τεσσαράκοντα, εἰς τὴν ὑπ. 188
Εἰς τὸν Μέγαν Γεώργιον, εἰς τὴν β'. ὑποσημ. 283
Εἰς τὸν Μέγαν Βασίλειον, εἰς τὴν γ'. ὑποσημ. 6
Εἰς τὸν Γόρδιον, εἰς τὴν β'. ὑποσημ. 11
Εἰς τὴν Παραμονὴν τῶν Φώτων, εἰς τὴν γ'. ὑπ. 14
Εἰς τὰ Θεοφάνεια, εἰς τὴν β'. ὑποσημ. 18
Εἰς τὰ Μεθέορτα τῶν Φώτων, εἰς τὴν ὑπ. 20
Εἰς τὸν Νύσσης Γρηγόριον, εἰς τὴν ὑποσ. 27
Εἰς τὴν Ἅλυσιν τοῦ Πέτρου, εἰς τὴν ά. ὑποσ. 38
Εἰς τὸν Ἀθανάσιον, εἰς τὴν β'. ὑποσ. 43
Εἰς τὴν Ἀνακομιδὴν τοῦ Λειψάνου τοῦ Χρυσοστόμου, εἰς τὴν ὑποσημείωσιν. 78
Εἰς τοὺς τρεῖς Ἱεράρχας, εἰς τὴν β'. ὑπ. 91
Εἰς τὴν Ὑπαπαντὴν, εἰς τὴν ε. ὑποσ. 98
Εἰς τὸν Ἀντιοχείας Μελέτιον, εἰς τὴν ὑποσ. 120
Εἰς τὸν Ἱερομάρτυρα Θεόδοτον, εἰς τὴν ὑπ. 168
Εἰς τὸν Εὐαγγελισμὸν, εἰς τὴν δ'. ὑποσ. 223
Εἰς τὸν Εὐαγγελιστὴν Μάρκον, εἰς τὴν ὑπ. 289
Εἰς τὸν Βασιλέα Ἀμασείας, εἰς τὴν β'. ὑπ. 291
Εἰς τὸν Ἰάκωβον τὸν ἀδελφὸν Ἰωάννου, εἰς τὴν β'. ὑποσημ. 298
Εἰς τὸν Λουκᾶν τὸν ἐν τῷ Στειρίῳ, εἰς τὴν ά. ὑποσημ. 109
Εἰς τὸν Θεόδωρον τὸν Τήρωνα, εἰς τὴν ά. ὑπ. 132
Εἰκὼν τίνος συναρμοσθεῖσα εἰς τὰ μέλη τοῦ νεκροῦ, ἀνέστησεν αὐτόν. 279
Ἐκδίκησιν δὲν πρέπει νὰ κάμνῃ τις. 206
Ἐκκλησίας ἔνδον πρέπει νὰ προσευχώμεθα προτιμώτερον, παρὰ εἰς ἄλλον τόπον. 164
Ἐλάφια εἰς ποῖον ἠκολούθουν. 221
Ἐστάλθησαν, καὶ ἀνθρωπίνως ἕνα ἐλάλησεν, αὐτόθ.
Ἐλεημοσύνη πλουσία ἱλαρὰ καὶ ἀνεπίδεικτος, Σελ. ποῖον ἀνεβίβασεν εἰς τὸν θρόνον τῆς Ῥώμης. 197
Ἐλεημοσύνην τὶς ἔδωκε τὰ ζῶα ὁποῦ τοῦ ἔφερνον τὸ νερόν. 205
Τὶς ἔδωκε τὸ ἀργυροῦν τρυβλίον τῆς Μονῆς. 198
Ἑπτὰ ἀριθμὸς διατὶ παρθένος καλεῖται, εἰς τὴν β'. ὑποσημ. 214
Ἐργόχειρον τὶς ἐπροστάχθη ὑπὸ Θεοῦ νὰ δουλεύῃ, καὶ παρ' ἄλλων νὰ μὴ λαμβάνῃ τὰ πρὸς τὴν χρείαν. 17
Ἐρήμου εἰς τὰ βαθύτερα ποῖος πρῶτος ἐπροχώρησεν. 36
Εὐαγγελισμοῦ εἰς τὴν ἑορτὴν τυχοῦσαν τῇ Μεγάλῃ Ἑβδομάδι, οὐ καταλύονται ὀψάρια, εἰς τὴν β'. ὑποσ. 224
Οὐ μετατίθεται αὕτη, αὐτόθι.
Ἐν ποίᾳ ἡμέρᾳ ἐγένετο, αὐτόθι.
Εὐαγγέλιον μικρὸν τὶς μόνον εἶχεν, εἰς τὴν ὑπ. 216
Εὐχὰς πάντων τῶν προσερχομένων, ποῖος Ὅσιος ἐζήτει νὰ λαμβάνῃ, εἰς τὴν ά. ὑποσ. 148
Εὐχὴ εἰς τὸν Ἅγιον Τρύφωνα. 310
Εὐωδίαν τὶς εὔγανεν ἀπὸ τὰς σάρκας του κατακαιόμενος. 189

Z

Ζάκυνθος ποίους Ἁγίους ἐβλάστησεν, ἴδε 17 Δεκεμβρίου καὶ 24 Ἰουλίου.
Ζώων ἀλόγων ἀσθενείας ποῖος Ἅγιος ἰάτρευε. 134
Ζῶα ὁποῦ τοῦ ἔφερνον τὸ νερὸν, ποῖος ἔδωκεν ἐλεημοσύνην. 206

H

Ἥλιον ποῖος ἔστησε. 139
Κύκλοι αὐτοῦ πόθεν ἄρχονται, εἰς τὴν ὑπ. 164

Θ

Θανάτου ὥραν ἐνθυμούμενος; τὶς κατεφρόνησε Βασιλείαν ἐπίγειον. 190
Θανάτου ἐν τῇ ὥρᾳ τὶς ἐσιώπα, εἰς τὴν ὑποσ. 223
Θεοδόσιος ὁ μέγας θαῦμα ἐνήργησε. 42
Διὰ ποῖα πράγματα εὐτύχησεν, αὐτόθι.
Ἔγραψεν ἰδιοχείρως τὸ Ἅγιον Εὐαγγέλιον, αὐτ.
Τίνα λόγον συχνάκις ἔλεγεν, αὐτόθι.
Θεόδωρος ὁ Τήρων διατὶ ὠνομάσθη φανερωτής. 247
Θεὸς ἐπίγειος σκέπων τὰ ἐλαττώματα ἅπερ ἔβλεπε ποῖος ἔγινε, εἰς τὴν β'. ὑποσ. 47
Θηρία τὰ τρώγοντα τὰ λάχανα, ποῖος Ἅγιος ἐδίωκε. 202
Θηρία οὐ βλάπτουσι τοὺς μέλλοντας σωθῆναι 229
Θλίψεις μικραὶ ὀλιγωστεύουσι τὰς μεγάλας. 158

I

σελ.
Ἰησοῦς ὄνομα πότε ἔλαβεν ὁ Κύριος. 6
Αὐτὸ ἐκάλεσεν ὁ Γαβριὴλ, ὅταν εὐηγγέλισε τὴν Θεοτόκον πρὸ τῆς Συλλήψεως, αὐτόθι.
Ἱμάτιον τίνος ἐφύλαξεν ἐν τῷ πολέμῳ ἄτρωτον τὸν φοροῦντα. 29
Ἰουλιανὸς ὁ θεῖος τοῦ παραβάτου Ἰουλιανοῦ, τύραννος κατέστη κατὰ τῶν Χριστιανῶν. 171
Κατὰ τούτου καὶ κατὰ τοῦ ἀνεψιοῦ του τὶς ἐπροφήτευσεν, αὐτόθι.
Ἰωάννης ὁ ἀπὸ Σχολαστικῶν εἰς πόσους τίτλους διήρεσε τοὺς Κανόνας, εἰς τὴν ὑπ. 142
Τὸ Νομοκάνονον αὐτοῦ ποῦ σώζεται. 142
Ἰωάννου τοῦ Βαπτιςοῦ τὴν δεξιὰν χεῖρα τὶς ἐπῆρε. 20
Τὶ θαῦμα ἔγινε διὰ τοῦ δακτύλου αὐτῆς 20
Ὑψώνετο αὐτη κατὰ τὴν ἡμέραν τῆς Ὑψώσεως τοῦ Σταυροῦ, αὐτόθι.
Πότε ἐφέρθη εἰς Κωνσταντινούπολιν. 20
Πότε ἐδήλου εὐτυχίαν καὶ πότε δυστυχίαν. 20
Ποῦ τώρα εὑρίσκεται, εἰς τὴν ὑποσημ. 20
Ἰωσὴφ ὁ Ὑμνογράφος πόθεν ἔλαβε τὴν χάριν νὰ σενθέτῃ εὐκόλως Τροπάρια. 246
Ποιήματα αὐτοῦ, εἰς τὴν δ΄. ὑποσημ. 247
Ἰωσὴφ ὁ Ἀριμαθαῖος καταίβασε τὸ Σῶμα τοῦ Ἰησοῦ ἀπὸ τὸν Σταυρὸν, καὶ οὐχὶ οἱ στρατιῶται, εἰς τὴν ὑποσημείωσιν. 80
Ἰωσὴφ ὁ Μνήστωρ τίνος ἦτον ἀδελφὸς, εἰς τὴν ὑποσημείωσιν. 292

K

Καισάριος ὁ ἀδελφὸς Γρηγορίου τοῦ Θεολόγου ἐρωταποκρίσεις συνέγραψεν, εἰς τὴν ὑπ. 189
Κακὸν στανικὸν εἶναι πολλὰ λυπηρὸν, τὸ δὲ θεληματικὸν εἶναι κατώτερον 158
Κανδήλας τῶν Ἁγίων λάδι, θαύματα ποιεῖ. 265
Καρφία τοῦ Κυρίου καὶ τῶν λῃστῶν εὑρεθέντα, τίνα διαφορὰν εἶχον, εἰς τὴν ὑποσημ. 180
Καταλαλεῖν ἀδελφοῦ, χεῖρον τοῦ φαγεῖν κρέας, εἰς τὴν γ΄. ὑποσημ. 261
Κλειδίον σου ἀνοίγει τὴν θύραν, τὶ θέλει νὰ εἰπῇ, εἰς τὴν ά. ὑποσημ. 82
Κλέπτων τὶς τὰ εἰς τοὺς πέννητας ἀργύρια, ποίαν ὀργὴν λαμβάνει 46
Κλεπτῶν ἀρχηγοὶ ἑπτὰ, πιςεύσαντες μαρτυροῦσι. 297
Κλήμης ὁ Ἀγκύρας εἰς πόσους Βασιλεῖς καὶ Ἡγεμόνας ἐμαρτύρησε, καὶ εἰς πόσους χρόνους, καὶ πόσα εἴδη βασάνων ὑπέμεινε. 61 καὶ 62
Κοινωνίας Μυστηρίων ἀργοπορινὴ ἀποχὴ, κακὸν προξενεῖ, εἰς τὴν β΄. ὑποσημ. 47
Κόλασις διττή ἐστι, καθολικὴ καὶ μερικὴ, εἰς τὴν ά. ὑπος. 47
Οἱ ἐν τῇ Κολάσει εὑρισκόμενοι, πότε ἐλαφρύνονται. 47
Κόμης τὶ ἀξίωμα ἦτον, εἰς τὴν ὑπος. 221
Κορίνθου Ἐπίσκοπος ποῖος ἦτον. 230
Κοσμικοὶ περιπαίζονται ἀπὸ τὸν Κόσμον. 49
Κρήτη ποίους Ἁγίους ἐβλάστησε. 15 καὶ 102
Κρίσις τοῦ Θεοῦ φέρει τὸν ἄνθρωπον εἰς μετάνοιαν. 212
Κρίσπον διατὶ ἐθανάτωσεν ὁ Κωνσταντῖνος, εἰς τὴν ὑποσημείωσιν. 8
Κριτὴς ἄδικος σωφρονίζεται, εἰς τὴν β΄. ὑπος. 32
Κύριε ἐλέησον, τὶς ἔλεγεν εἰς ὅλην τὴν Ἀκολουθίαν ἱστάμενος. 26
Κύβος τὶ εἶναι, εἰς τὴν ά. ὑπος. 288
Κυρίλλου Ἀλεξανδρείας ἡ κυρία μνήμη πότε εἶναι, εἰς τὴν ά. ὑποσημ. 43
Κωνσταντῖνος ὁ Μέγας πότε ἐβαπτίσθη, καὶ παρὰ τίνων, εἰς τὴν ὑποσημ. 8
Εἰς τὸν Ἰορδάνην ἠγάπα νὰ βαπτισθῇ. 8
Οὐ βλάπτει τὴν αὐτοῦ ἁγιότητα τὸ ἐν τῷ τέλει βαπτισθῆναι, αὐτόθι.
Πρὸ τοῦ βαπτισθῆναι ἐφόνευσε τὴν Φαῦσταν καὶ τὸν Κρίσπον, αὐτόθι.
Κωνσταντῖνος ἐν τῷ τέλει ἐβαπτίσθη, αὐτόθι.
Μετὰ θάνατον αὐτοῦ Ἄγγελοι ἔψαλλον. 8
Κωνώπια ποίους πολεμίους δαγκάνοντα, τοὺς ἔκαμαν νὰ φύγουν ἄπρακτοι. 33

Λ

Λαύρας διατὶ τὰ μεγάλα Μοναστήρια ὀνομάζουσι, εἰς τὴν ὑποσημ. 213
Λειτουργία Προηγιασμένη καὶ πρὸ τοῦ Διαλόγου ἦτον, εἰς τὴν ά. ὑποσημ. 199
Λείψανα Ἀνδρονίκου καὶ Ἰουνίας ποῦ εὑρίσκοντο. 143
Λείψανον τίνος ἐσήκωσεν ὁ Βασιλεὺς καὶ ἡ Σύγκλητος εἰς τοὺς ὤμους των. 200
Τίνος τὸ Λείψανον ἐσκέπαζεν ὁ Βασιλεὺς μὲ τὴν ὁλουργίδα του. 78
Λείψανα Μαρτύρων τίνες εἶχον ἔργον νὰ μυρίζουν. 217
Λείψανον τοῦ Θεοδόχου Συμεὼν ποῦ εὑρίσκετο, εἰς τὴν ὑποσημ. 100
Λείψανον τοῦ Προφήτου Ζαχαρίου ποῦ εὑρίσκετο, εἰς τὴν β΄. ὑποσημ. 111
Λειψάνων Μαρτυρικῶν ἀναμέσον διαπερᾶν, ἰατρείαν προξενεῖ. 249
Λέων εἰς ποῖον ὑπετάσσετο. 172
Διὰ τὴν ἀγάπην αὐτοῦ ἐπάνω εἰς τὸν τάφον του ἐξέπνευσεν, αὐτόθι.
Λέοντες δύω εἰς ποῖον ἠκολούθουν. 205

Λέων φέρει καὶ λαμβάνει ἐπιστολήν. Σελ. 206
Λέαινα, τοὺς μὲν κακοὺς θανατόνει, τοὺς δὲ μέλλοντας σωθῆναι, οὐ βλάπτει. 228
Λέοντος Πάπα ἐπιστολὴν πῶς ἐδέχθη ἡ τετάρτη Σύνοδος. 133
Λίτρα πόσον εἶναι, εἰς τὴν β'. ὑποσημ. 46
Λόγους ὁποῦ δὲν θέλει τὶς ἀπὸ ποίαν αἰτίαν τοὺς ἀκούει, εἰς τὴν ά. ὑποσημ. 82

Μ

Μαγείας δὲν εἶναι συγχωρημένον νὰ πράττουν οἱ Χριστιανοί. 248
Μακεδονίου Ἁγίου Πατριάρχου ἡ καθαίρεσις, πολλὴν σύγχυσιν ἐπροξένησεν εἰς τὸν λαὸν, καὶ τὶ περὶ αὐτοῦ ἔλεγον, εἰς τὴν β'. ὑπ. 290
Μαλαχίας τὶ δηλοῖ καὶ διατὶ οὕτως ὠνομάσθη. 10
Πότε ἤκμασεν, αὐτόθι.
Διατὶ λέγεται προφήτης τοῦ δευτέρου Ναοῦ, εἰς τὴν ά. ὑποσημείωσιν. 11
Ὁ Ἔσδρας εἶναι, αὐτόθι.
Μανιχαῖοι ἔλεγον ὅτι δέν ἔλαβεν ὁ Κύριος σάρκα ἀληθινήν. 6
Μάξιμος τί θέλει νὰ εἰπῇ. 53
Μαρκιανὸς βασιλεὺς τὶ προτερήματα εἶχεν εἰς τὴν β'. ὑποσημείωσιν. 132
Μάρκος ὁ Εὐαγγελιστὴς πότε ἤρχισε νὰ κηρύττῃ τὸ Εὐαγγέλιον, εἰς τὴν ὑποσ. 289
Ἐπιτομεὺς εἶναι τοῦ κατὰ Ματθαῖον Εὐαγγελίου, αὐτόθι.
Τίνων τὰ λείψανα ἐσύναξεν, αὐτόθι.
Τὸ ὄνομα αὐτοῦ Ἑβραϊκὸν εἶναι, καὶ τί σημαίνει, αὐτόθι.
Ἑλληνικὸν εἶναι, αὐτόθι.
Θαῦμα αὐτοῦ ἀξιόλογον, εἰς τὴν ά. ὑπ. 290
Μάρτιος διατὶ λέγεται. 165
Ἐν ποίᾳ ἡμέρᾳ αὐτοῦ ἔκτισεν ὁ Θεὸς τὸν Κόσμον, εἰς τὴν ὑποσημ. 164
Καί τὸν ἄνθρωπον, αὐτόθι.
Ἐν ποίᾳ ἡμέρᾳ αὐτοῦ συνελήφθη καὶ ἐσταυρώθη καὶ ἀνέστη ὁ Κύριος. 165
Ἀρχὴ φυσικὴ εἶναι τῆς γεννήσεως τῶν καρπῶν, εἰς τὴν ὑποσ. 164
Ἐν τῷ Μαρτίῳ ἔχει νὰ γίνῃ ἡ κοινὴ Ἐξανάστασις καὶ ἡ τῶν κτισμάτων ἀποκατάστασις. 165
Πῶς ὀνομάζεται Ἑβραϊστὶ καὶ Ἰταλιστὶ. 165
Μάρτυρα γυναῖκα ποίαν ἐφύλαξεν ὁ Θεὸς ἀμόλυντον ἀπὸ τοὺς ζητοῦντας αὐτὴν μολῦναι. 56
Μάρτυς ποία δὲν κατεδέχθη νὰ τὴν πιάσουν οἱ στρατιῶται καὶ νὰ τὴν ἐκδάρουν, ἀλλὰ ἐστάθη μόνη. 156
Μάρτυς ἐτύφλωσε τὸν δοῦλον, ὅστις ἐζήτει νὰ τὴν ἀτιμάσῃ. Σελ. 169
Μαρτυρίου πόθος ἀνάπτει τὴν καρδίαν. 133
Μαρτύριον τῶν Χριστιανῶν τὶς καθ' ὑπόκρισιν μιμηθῆναι βουληθεὶς, ἐμαρτύρησε τῇ ἀληθείᾳ. 264
Μαρτύρων μαρτύρια ἰσορισμένα θεωρούμενα, ποῖον παρεκίνησαν νὰ μαρτυρήσῃ. 59
Μαρτύρων Λείψανα, τίνες εἶχον ἔργον νὰ πέρνουν καὶ νὰ μυρίζουν. 217
Μετεώρου Μονὴν τὶς ἔκτισε 279
Μηνῶν πρῶτος ποῖος εἶναι. 164
Μήτηρ φιλόθεος ποίους λόγους ἔλεγεν εἰς τὸν υἱόν της λειποθυμοῦντα ἐν τῷ μαρτυρίῳ. 187
Καὶ τὶ ἐποίησεν, αὐτόθι.
Μήτηρ ποίᾳ ἐπλήρωσε, διὰ νὰ τελειώσουν μὲ σταυρὸν τὸν υἱόν της. 254
Μιτυλήνης Ἐπίσκοπος ποῖος ἦτον, αὐτόθι.
Ποῖαι Κόραι ἀπὸ αὐτὴν ἐβλάστησαν. 251
Μιχαὴλ ἀπὸ τὸν Ἀρχάγγελον, ποῖος ὠδηγήθη εἰς τὴν τοῦ Χριστοῦ Πίστιν. 175
Καὶ ἐβαπτίσθη καὶ ἐκοινώνησε καὶ ἐβοηθεῖτο, αὐτόθι.
Μοιχεία πῶς παιδεύεται. 295
Μοναχὴ καὶ Καλογραία δὲν πρέπει νὰ βλέπῃ πρόσωπόν τινος, οὔτε ἄλλος νὰ βλέπῃ τὸ ἐδικόν της. 166
Μοναχοὶ πρέπει νὰ ἐργοχειροῦν καὶ ἀργοὶ νὰ μὴ ἦναι. 16
Ἐκ τοῦ ἐργοχείρου των πρέπει νὰ δίδουν καὶ εἰς τοὺς ἄλλους τὰ πρὸς τὴν χρείαν 16
Μακάριοι εἶναι ὡς περιπαίζοντες τὸν Κόσμον. 48
Μοναχὸς ὑποκριτὴς, ποίαν τιμωρίαν ἔλαβεν ἐν τῷ θανάτῳ. 51
Μίαν φορὰν πρέπει νὰ τρώγουν τὴν ἡμέραν, καὶ νὰ προσεύχωνται πάντοτε νοερῶς, εἰς τὴν β'. ὑποσημείωσιν. 62
Μετὰ μικρὰ κακοπαθήματα, πρέπει νὰ πολεμοῦν τὸν Διάβολον, καὶ διατί. 63
Μοναχὸς ποῖος ὠνόμαζεν αὐθέντας τοὺς ἄλλους Μοναχούς. 134
Μοναχοὶ ποῖοι ἁπλοϊκοὶ ὄντες, ἠπατήθησαν. 160
Μοναχὸς πῶς δύνανται νὰ γίνῃ τὶς, εἰς τὴν ὑποσημείωσιν. 222 καὶ 223
Ἔργον αὐτοῦ ποῖον εἶναι, αὐτόθι.
Τὶς ἐκαίετο τὰ ἐντόσθια ἀπὸ τὴν ἐνέργειαν τῆς χάριτος, εἰς τὴν ὑποσημ. 223
Μύλασσα ποία εἶναι. 65
Μῦρον εὐῶδες τίνος ὁ τάφος ἀναβρύει. 277
Μυστηρίων ἀγροπορινὴ κοινωνία, αἰτία γίνεται ὁ Διάβολος νὰ πειράζῃ τοὺς μὴ μεταλαμβάνοντας, εἰς τὴν β'. ὑποσ. 47

Ν

Σελ.
Ναυτιανοὶ τί ἦτον, εἰς τὴν ὑποσημ. 239
Νερὸν τίς ἔφερε μακρὰν ἀπὸ πέντε μίλια. 20
Νερὸν τίνος ἀνέβλυζον οἱ χεῖρες, αὐτόθι.
Νικόλαος ὁ μέγας χαρτίον ἔδωσεν εἰς τὸν Ὑμνογράφον Ἰωσήφ. 246
Νόθος τίς ὢν καὶ ἐκ πορνείας, ἔγινεν Ἅγιος. 281
Νόμον τελετουργικὸν εἰς τὸ πνευματικώτερον ὁ Κύριος ἀνεβίβασε. 19
Νύμφην αὐτοῦ τίς ἐβουλήθη νὰ σμίξῃ. 264

Ο

Ὀκτὼ ἀριθμὸς διατὶ λέγεται ἰσάκις ἴσος ἰσάκις, εἰς τὴν ά. ὑποσημ. 288
Ὀλδὰ εἰς τίνος καιρὸν ἐπροφήτευσε, εἰς τὴν ά. ὑποσημ. 259

Π

Πάθη ποῖος ἀντεπολέμει μὲ τὰ ῥητὰ τῆς Γραφῆς. 136
Παράδεισον χειρόγραφον τῶν Πατέρων τίς ἐσύναξεν, εἰς τὴν ὑποσημ. 227
Παρακλητικὴ τίνος ἐστὶ πόνημα, εἰς τὴν ά. ὑπ. 247
Παρίον ποῖον ἦτον, εἰς τὴν β'. ὑποσημ. 64
Παρακοὴ Μοναχῶν ποίαν τιμωρίαν λαμβάνει. [227 καὶ 229
Τίς ταύτην ἐμίσα. 243
Ποῖον Προφήτην ἐθανάτωσε. 235
Παρθενίας στέφανος, ποῖος, καὶ εἰς τίνα ἐδόθη παρὰ Θεοῦ. 65
Πάσχα Κύριον πότε λέγεται. 165
Πάσχειν διὰ τὸν Χριστὸν πρόξενον εἶναι εὐδαιμονίας. 265
Πατέρων τῶν ἐν τῇ Μονῇ τοῦ Ἁγίου Σάββα ἀναιρεθέντων ἔπαινοι, εἰς τὴν β'. ὑποσ. 213
Πένθος πῶς εὑρίσκει ὁ ἄνθρωπος ὅταν τὸ θέλῃ εἰς τὴν ά. ὑποσημ. 82
Πεῖνα ἡ ὑπὸ τοῦ Ἀγάβου προφητευθεῖσα εἰς ποῖον χρόνον συνέβη, εἰς τὴν ά. ὑποσ. 255
Δι' αὐτὴν πολλὴ ταραχὴ ἐν Ῥώμῃ συνέβη, αὐτόθι.
Καὶ οἱ ἐξωτερικοὶ αὐτὴν ἀναφέρουν, αὐτόθ.
Ἀπὸ τὴν πεῖναν τίνες ἀπέθανον. 280
Πελεκητὴς Μοναστήριον ποῦ εὑρίσκετο, εἰς τὴν ὑποσημείωσιν. 243
Περιτομὴν ὁ Κύριος παρὰ τίνος, καὶ ποῦ ταύτην ἐδέξατο, εἰς τὴν β'. ὑποσ. 5
Τὸ περιτμηθὲν ἐκεῖνο μέρος τοῦ Κυρίου, τί ἔγινεν, αὐτόθι.
Σελ.
Ποῦ ἐδοξάζετο ματαίως, ὅτι εὑρίσκεται, αὐτόθι.
Προσέλαβεν αὐτὸ ὁ Κύριος ἐν τῇ Ἀναστάσει, αὐτόθι.
Διὰ ποῖα αἴτια ἔλαβε περιτομὴν, εἰς τὴν ά. ὑποσημείωσιν. 6
Περιστερὰ εἰς ποῖον ὡμίλησε. 57
Πίστις Χριστιανῶν δὲν εἶναι ἀτιμωτέρα τῆς τῶν Ἑλλήνων θρησκείας, διότι εἶναι νεωτέρα ἐκείνης. 260
Πλοῦτον πνευματικὸν τοῦ αὐθέντου του τίς ἔλεγε κλαίων, ὅτι ἔχασε, εἰς τὴν ὑποσημ. 216
Πόλεμος ὠφελεῖ περισσότερον τοὺς Χριστιανοὺς πάρεξ ἡ εἰρήνη, εἰς τὴν γ'. ὑποσημ. 241
Πόλεμον εἰς τὸν τῆς πορνείας, ποία Ἁγία εἶναι βοηθός. 265
Πνεῦμα Ἅγιον διατὶ ἦλθεν ὡς περιστερὰ εἰς τὸν Ἰησοῦν βαπτιζόμενον. 18
Πνεύματος Θεολογίαν τίς προσέθηκεν ἐν τῷ Συμβόλῳ, εἰς τὴν ὑποσημ. 27
Πορνείας εἰς τὸν πόλεμον ποία Ἁγία εἶναι βοηθός. 265
Προδρόμου ἡ Κάρα, ποῦ πρῶτον καὶ δεύτερον εὑρέθη. 149
Πῶς ἐφέρθη εἰς τὴν Κωνσταντινούπολιν, εἰς τὴν ὑποσημείωσιν. 149
Ποῦ εὑρίσκετο μέρη αὐτῆς, αὐτόθι.
Προσευχόμενός τις, ἦτο φορτωμένος μὲ ῥίζαν δένδρου βαρυτάτην. 147
Πολυκάρπου ἔπαινοι τίνες, εἰς τὴν β'. ὑποσ. 146
Τί λόγιον ἔλεγεν, αὐτόθι.
Προφήτης, ὃν ὁ λέων ἔφαγε, πῶς ὠνομάζετο, εἰς τὴν ὑποσημ. 235 καὶ 236
Ὁ ἀπατήσας αὐτὸν ἵνα φάγῃ, δὲν ἦτο ψευδοπροφήτης, αὐτόθι.
Πτωχῶν ἀργύρια ὁ κλέπτων, ποίαν ὀργὴν λαμβάνει. 46
Ποῖος ἐπωλήθη, καὶ τὴν τιμὴν ἔδωκεν εἰς τοὺς πτωχούς. 52
Ποῖος ἔδωκεν τὰ ἐνδύματα αὐτοῦ εἰς τοὺς πτωχούς.

Σ

Σάββατον τιμῶν τίνος αἱρέσεως ἦτον, εἰς τὴν ά. ὑποσημ. 7
Σαμοθράκης εἰς τὸ νησίον ποῖος ἐξωρίσθη. 197
Σαρκὸς πόλεμον ὁ ὑποφέρων, ἔχει καὶ μισθόν. 137
Καὶ στέφανον Μαρτυρίου λαμβάνει, εἰς τὴν ὑποσημείωσιν. 137
Σὰρξ ἡ προσληφθεῖσα ἐκ τῆς Παρθένου ὑπὸ τοῦ Κυρίου, οὐκ ἦν ἄφθαρτος πρὸ τοῦ Πάθους. 252

Σελήνη εἰς πόσον διάστημα γίνεται τελεία, Σελ.
εἰς τὴν ὑποσημείωσιν. 164
Σεραφὶμ πέρι, ποῖος ἐλάλησε. 239
Σιγριανὴ ποία εἶναι, εἰς τὴν ὑποσημ. 196
Σοῦλι τὸ πολυθρύλλητον πῶς ἐλέγετο, εἰς τὴν δ'. ὑποσημείωσιν. 299
Σταυροῦ τύπος δράκοντα ἐθανάτωσε. 238
Σταυροῦ ξύλον ἐπήγαιναν διὰ νὰ προσκυνήσουν οἱ Χριστιανοί. 242
Τίς ἐμποδίζετο νὰ ἰδῇ αὐτόν, αὐτόθι.
Σταυροῦ τοῦ Χριστοῦ ποῖος ἔγινε συγκοινωνός, οὐ μόνον κατὰ τὸν τρόπον τοῦ θανάτου, ἀλλὰ καὶ κατὰ τὸν καιρόν. 254
Σταυρὸν τὶς ἰδών, ποίους λόγους εἶπεν, εἰς τὴν ά. ὑποσημείωσιν. 276
Σμύρνης Ἱερομάρτυς πρεσβύτερος, ποῖος ἐχρημάτισε. 193
Συκοφάντριαν πῶς παιδεύει ὁ Θεός· εἰς τὴν β'. ὑποσημ. 141
Σύμβολον Πίστεως τίς ἀνεπλήρωσε, εἰς τὴν ὑποσημ. 28 καὶ 29
Σῶμα δὲν ἠμπορεῖ νὰ κάμῃ τι ἔξω ἀπὸ ἐκεῖνο ὁποῦ θέλει ἡ ψυχή. 265
Ὑπὸ τῆς ψυχῆς κινεῖται, αὐτόθι.
Σῶμα μὲ τὸ ὁποῖον ἥμαρτεν ὁ ἄνθρωπος, μὲ αὐτὸ πρέπει καὶ νὰ μετανοῇ. 295
Συμεὼν ὁ ἀδελφὸς τοῦ Κυρίου, ἄλλος ἦτον ἀπὸ τὸν Σίμωνα τὸν Ζηλωτήν, εἰς τὴν ὑπ. 292
Ἐκαταδικάσθη νὰ πίῃ φαρμάκι. 292
Τίνος ἦτον υἱός, αὐτόθι.
Δεύτερος ἦτον Ἐπίσκοπος Ἱεροσολύμων, αὐτ.

Τ

Τεσσαράκοντα Μαρτύρων τὰ ὀνόματα, οὐ περιέχονται ὁλόκληρα ἐν τῷ Τροπαρίῳ αὐτῶν, καὶ ποῖον ὄνομα λείπει, εἰς τὴν β'. ὑποσημ. 186 καὶ 187
Τήρων τί θέλει νὰ εἰπῇ. 130
Τιμωρίαι μέτριαι, ἐλαφρύνουσι τὸ βάρος τῶν μελλουσῶν ἐκείνων τιμωριῶν. 158
Τρία πράγματα πρέπει νὰ φοβῆταί τις, εἰς τὴν ά. ὑποσημ. 31
Τροπάρια νέα εἰς τὸν Ὁμολογητὴν Μελέτιον, εἰς τὴν γ'. ὑποσημείωσιν 49
Εἰς τὸν Μάρκον τὸν Ἐφέσου, εἰς τὴν δ' ὑποσ. 49
Εἰς τὸν Ἀπόστολον Τιμόθεον, εἰς τὴν ὑποσ. 58
Εἰς τὸν Ἰωσὴφ τὸν Ὑμνογράφον, εἰς τὴν ά. ὑποσημείωσιν. 247
Εἰς τὸν Ἅγιον Ἀντίπαν, εἰς τὴν ὑποσ. 260
Εἰς τὸν Μέγαν Γεώργιον, εἰς τὴν β'. ὑποσ. 283
Εἰς τὸν Τρύφωνα, εἰς τὴν γ'. ὑποσημ. 96
Εἰς τὸν Χαραλάμπην, εἰς τὴν γ'. ὑποσημ. Σελ. 115
Εἰς Ἀθανάσιον τὸν Κτίτορα τοῦ Μετεώρου, εἰς τὴν ά. ὑποσημείωσιν. 279
Τυφλοὺς ποῖος ἐσύναγε καὶ ἔτρεφε. 144
Τῷ Παντάνακτος ἐξεφαύλισαν πόθῳ, ποῖος ψάλλων ἐφονεύθη. 185

Υ

Ὕδωρ τὸ ὑδρευόμενον κατὰ τὴν νύκτα τῶν Θεοφανείων, ἄφθορον διαμένει δύω καὶ τρία ἔτη, εἰς τὴν ὑποσημ. 18
Ὑπακοὴ καὶ εἰς τὰ παράλογα πρέπει νὰ γίνεται. 182 καὶ 183
Ὑπακοὴν τὶς ἠγάπα. 243
Ὑποκριτὴς Μοναχὸς σώφρων φαινόμενος, καὶ ἀκόλαστος ὢν κατὰ τὴν καρδίαν, ποίαν τιμωρίαν ἔλαβεν ἐν τῷ θανάτῳ. 50
Ὑπνῶν, τὶς δὲν ἐκοιμήθη ἀνάσκελα, ἢ εἰς τὸ ἀριστερὸν μέρος. 25
Ὑψισταρίων αἵρεσις τί ἦτον, εἰς τὴν ά. ὑποσημ. 7

Φ

Φαντασίαν Δαιμόνων οἱ καθαροὶ καὶ Ἅγιοι δὲν βλέπουσι. 47
Φαῦσταν διατί ἐθανάτωσεν ὁ Κωνσταντῖνος, εἰς τὴν ὑποσημ. 8
Φιλανθρωπία καὶ τοὺς ἀπίστους ποιεῖ Χριστιανούς. 125
Φιλοξενία γενομένη, πλουσίαν δόσιν τῶν ἀγαθῶν προξενεῖ. 63
Φιλοσοφία ἡ κατὰ Θεόν, πᾶσίν ἐστιν αἰδοῦς ἀξία, εἰς τὴν ὑποσημ. 126
Φόβος τοῦ Κυρίου φέρει τὸν ἄνθρωπον εἰς μετάνοιαν. 212
Φοῖνιξ ἐν τῷ ἅμα ἐποίησε καρπόν. 237
Φρόνησις πολιτικὴ ἡνωμένη μὲ ἀσκητικὴν ἀγωγήν, πολλοῖς αἴτιος σωτηρίας γίνεται. 27
Φοσιογνωμία ἀνδρείου ποία εἶναι. 287
Φῶς ἱλαρὸν τροπάριον, ποῖος ἐποίησεν, εἰς τὴν β'. ὑποσημ. 192

Χ

Χαρακτὴρ ὁ σωματικὸς Ταρασίου Πατριάρχου, τίνι ἦτον ὅμοιος. 150
Χερουβὶμ πέρι ποῖος ἐλάλησε. 239
Χίου εἰς τὸ βουνὸν τὶς Μάρτυς ἀνέβη. 219
Χριστιανοὶ πρέπει νὰ προτιμοῦν κάλλιον νὰ μὴ ἔχουν κάμμίαν ἐξωτερικὴν τιμήν, πάρεξ νὰ ἀπολλύουν μὲ αὐτὴν τὰς ψυχάς των. 168

Σελ.
Οἱ ἐν Χερσῶνι ὄντες, μὲ τί σημεῖον ἐπίστευσαν εἰς τὸν Χριστόν. 181
Τοὺς εἰς Χριστὸν πιστεύοντας οὐδεὶς δύναται νὰ κυριεύσῃ. 209
Ὑπερασπίζεται αὐτοὺς ὁ Θεός, αὐτόθι.
Χριστιανοὶ μόνον ἔῤῥιπτον τὸν ἑαυτόν τους μέσα εἰς τὰς καμίνους. 218
Χριστιανοὺς περισσότερον ὠφελεῖ ὁ πόλεμος, πάρεξ ἡ εἰρήνη, εἰς τὴν β'. ὑποσημείωσιν. 241
Οἱ Χριστιανοὶ δὲν πρέπει νὰ ἦναι μάγοι. 275
Χριστιανοὶ ποῖοι ἔγιναν διὰ τὴν φιλανθρωπίαν ὁποῦ ἔλαβον. 125
Χριστὸς διὰ ποίας αἰτίας ἔλαβε τὸ τοῦ Ἰωάννου Βάπτισμα, εἰς τὴν ὑποσημείωσιν. 18
Βαπτισθείς, διατὶ ἀνέβη εὐθὺς ἀπὸ τοῦ ὕδατος, αὐτόθι.
Ὅλην τὴν φύσιν τῶν ὑδάτων ἡγίασεν. 18
Ἔλυσε πάντα νόμον τελετουργικόν, ἀναβιβάσας εἰς τὸ πνευματικώτερον. 18

Σελ.
Σῶμα αὐτοῦ τίς ἐκατέβασεν ἀπὸ τὸν Σταυρόν, εἰς τὴν ὑποσημείωσιν. 80 καὶ 81
Ὄνομα Χριστοῦ, ὅπου ἐκφωνιθῇ, ἀπὸ ἐκεῖ πᾶσα μαγεία διώκεται. 274

Ψ

Ψαλτήριον ποία Ὁσία ἔμαθεν. 272
Καὶ ἐν τῷ τέλει αὐτῆς τοῦτο ἀνεγίνωσκε. 272
Ψεῦδος σοφὸν ποία Ἁγία μετεχειρίσθη διὰ τὴν σωφροσύνην 49
Ψυχὴ τὸ σῶμα κυβερνᾷ. 265
Ἔξω ἀπὸ ἐκεῖνο ὁποῦ αὐτὴ θέλει, δὲν ἠμπορεῖ νὰ κάμῃ τὸ σῶμα, αὐτόθι.

Ω

Ὠδὴν ποίαν ἔψαλον τινὲς ἀθλήτριαι. 268

ΤΕΛΟΣ ΤΟΥ Β'. ΤΟΜΟΥ

BSB Bayerische StaatsBibliothek

MDZ Münchener DigitalisierungsZentrum Digitale Bibliothek

Mauritius [Nichtlateinische Schriftzeichen]

Bd.: 2

1868

4 Liturg. 381 h-2
urn:nbn:de:bvb:12-bsb10524763-6